ΕΗ. οὕτως τὸ ἀπὸ τῆς ΖΕ πρὸς τὸ ὑπὸ τῶν ΖΕ ΕΗ. ὁμοίως δὲ καὶ ὡς τὸ ὑπὸ τῶν ΗΕ ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΕΖ τουτέστιν ὡς τὸ ΗΔ πρὸς τὸ ΔΖ. οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΖ:~

κβ Τὸ ἀπὸ μέσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ῥητὴν καὶ ἀσύμμετρον τῇ παρ' ἣν παράκειται μήκει. ἔστω μέση μὲν ἡ Α. ῥητὴ δὲ ἡ ΓΒ. καὶ τῷ ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΒΓ παραβεβλήσθω χωρίον ὀρθογώνιον τὸ ΒΔ πλάτος ποιοῦν τὴν ΓΔ. λέγω ὅτι ῥητή ἐστιν ἡ ΓΔ καὶ ἀσύμμετρος τῇ ΓΒ μήκει. ἐπεὶ γὰρ μέση ἐστὶν ἡ Α. δύναται χωρίον περιεχόμενον ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων. δυνάσθω τὸ ΗΖ. δύναται δὲ καὶ τὸ ΒΔ. ἴσον ἄρα ἐστὶ τὸ ΒΔ τῷ ΗΖ. ἔστιν δὲ αὐτῷ καὶ ἰσογώνιον. τῶν δὲ ἴσων τε καὶ ἰσογωνίων παραλληλογράμμων. ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΓ πρὸς τὴν ΕΗ. οὕτως ἡ ΕΖ πρὸς τὴν ΓΔ. ἔστιν ἄρα καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ἀπὸ τῆς ΕΗ. οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΓΔ. σύμμετρον δέ ἐστι τὸ ἀπὸ τῆς ΓΒ τῷ ἀπὸ τῆς ΕΗ. ῥητὴ γάρ ἐστιν ἑκατέρα αὐτῶν. σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΕΖ τῷ ἀπὸ τῆς ΓΔ. ῥητὸν δέ ἐστι τὸ ἀπὸ τῆς ΕΖ. ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΓΔ. ῥητὴ ἄρα ἐστὶν ἡ ΓΔ. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΖ τῇ ΕΗ μήκει. δυνάμει γὰρ μόνον εἰσὶ σύμμετροι. ὡς δὲ

δ τ κα τ ι

δ τ ιδ τ ς

ἡ ΕΖ πρὸς τὴν ΕΗ. οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ὑπὸ τῶν ΖΕ ΕΗ. ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΕΖ τῷ ὑπὸ τῶν ΖΕ ΕΗ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΕΖ. σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ. ῥηταὶ γάρ εἰσι δυνάμει. τῷ δὲ ὑπὸ τῶν ΖΕ ΕΗ. σύμμετρον τὸ ὑπὸ τῶν ΔΓ ΓΒ. ἴσα γάρ ἐστι τῷ ἀπὸ τῆς Α. ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΓΔ τῷ ὑπὸ τῶν ΔΓ ΓΒ. ὡς δὲ τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ὑπὸ τῶν ΔΓ ΓΒ. οὕτως ἐστὶν ἡ ΔΓ πρὸς τὴν ΓΒ. ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΓ τῇ ΓΒ μήκει. ῥητὴ ἄρα ἐστὶν ἡ ΓΔ καὶ ἀσύμμετρος τῇ ΓΒ μήκει:~

δ τ προλ υ λήμματα·-

δ τ λυ πάλιν λη



κγ Ἡ τῇ μέσῃ σύμμετρος. μέση ἐστίν. ἔστω μέση ἡ Α καὶ τῇ Α σύμμετρος ἡ Β. λέγω ὅτι καὶ ἡ Β μέση ἐστίν. ἐκκείσθω γὰρ ῥητὴ ἡ ΓΔ. καὶ τῷ μὲν ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω χωρίον ὀρθογώνιον τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΕΔ. ῥητὴ ἄρα ἐστὶν ἡ ΕΔ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. τῷ δὲ ἀπὸ τῆς Β ἴσον παρὰ τὴν ΔΓ παραβεβλήσθω χωρίον ὀρθογώνιον τὸ ΓΖ πλάτος ποιοῦν τὴν ΔΖ. ἐπεὶ οὖν σύμμετρός ἐστιν ἡ Α τῇ Β, σύμμετρόν ἐστι καὶ τὸ ἀπὸ τῆς Α τῷ ἀπὸ τῆς Β. ἀλλὰ τῷ μὲν

δ τ κβ τ ι

BIBLIOTHECA BODLEIANA